# 179. THE BURIAL OF JESUS (Matt-Mk Identical)

| Matt 27:57-61 | Mark 15:42-47 |
|---|---|
| Ὀψίας δὲ γενομένης | Καὶ ἤδη ὀψίας γενομένης, |
| | ἐπεὶ ἦν παρασκευή, |
| | ὅ ἐστιν προσάββατον, |
| ἦλθεν ἄνθρωπος πλούσιος | 43 ἐλθὼν |
| | Ἰωσὴφ ὁ ἀπὸ Ἁριμαθαίας |
| | εὐσχήμων βουλευτής, |
| ἀπὸ Ἁριμαθαίας, | |
| τοὔνομα Ἰωσήφ, | |
| ὃς καὶ αὐτὸς | ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος |
| | τὴν βασιλείαν τοῦ θεοῦ, |
| ἐμαθητεύθη τῷ Ἰησοῦ· | |
| 58 οὗτος προσελθὼν | τολμήσας εἰσῆλθεν |
| τῷ Πιλάτῳ | πρὸς τὸν Πιλᾶτον |
| ᾐτήσατο | καὶ ᾐτήσατο |
| τὸ σῶμα τοῦ Ἰησοῦ. | τὸ σῶμα τοῦ Ἰησοῦ. |
| τότε ὁ Πιλᾶτος | 44 ὁ δὲ Πιλᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκεν, καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανεν· 45 καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος |
| ἐκέλευσεν ἀποδοθῆναι. | ἐδωρήσατο τὸ πτῶμα τῷ Ἰωσήφ. |
| 59 καὶ | 46 καὶ ἀγοράσας σινδόνα |
| λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ | καθελὼν αὐτὸν |
| ἐνετύλιξεν αὐτὸ ἐν σινδόνι | ἐνείλησεν τῇ σινδόνι |
| καθαρᾷ, | |
| 60 καὶ ἔθηκεν αὐτὸ | καὶ ἔθηκεν αὐτὸν |
| ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ | ἐν μνημείῳ |
| ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ, | ὃ ἦν λελατομημένον ἐκ πέτρας, |
| καὶ προσκυλίσας λίθον μέγαν | καὶ προσεκύλισεν λίθον |
| τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν. | ἐπὶ τὴν θύραν τοῦ μνημείου. |
| 61 ἦν δὲ ἐκεῖ Μαριὰμ ἡ Μαγδαληνὴ | 47 ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ |
| καὶ ἡ ἄλλη Μαρία | καὶ Μαρία ἡ Ἰωσῆτος |
| | ἐθεώρουν |
| | ποῦ τέθειται. |

*καθήμεναι ἀπέναντι τοῦ τάφου.*

52 matches out of 176 words = 30%